# ΜΕΘΟΔΟΣ
# ΑΣΤΡΟΓΝΩΣΙΑΣ

ἥτις διδάσκει ἄνευ Σφαίρας, ἢ Πίνακος Οὐρανίȣ τὴν Γνῶσιν τῶν διασημοτέρων Ἀστέρων τῶν ἐν τῷ τῆς Οὐγγαρίας ὁρίζοντι φαινομένων.

Συνεγράφη μὲν ποτὲ παρὰ

Γεωργίου Μαρότȣ

ἐκ τῆς Λατινίδος δὲ ἐξελληνισθεῖσα παρὰ

Γεωργίȣ Ἰωάν. Ζαβείρατȣ Σιατιστέως

Νῦν πρῶτον τύποις ἐκδοθεῖσα παρὰ

Ἐμμανȣὴλ Δημητριάδου

Δαπάνῃ τȣ ἐντιμοτάτȣ Ἐφόρȣ τῆς ἐν Πέστῃ Ἑλλην. Σχολ.

Κυρίȣ Κυρίȣ

Νικολάȣ Μπεκέλλα.

Ἐν Πέστῃ τῆς Οὐγγαρίας,
ἐν τῷ Τυπογραφείῳ Τ. Τράττνερ.
1815.

Οὐ τὸ μέγα εὖ ἐστι· τὸ δ' εὖ μέγα.

Δημοσθ. παρὰ Πλουτάρχ.

ἐν τοῖς ἀποφθέγμ.

# Μέθοδος Ἀστρογνωσίας.

## Ἀστρογνωσία.

### §. α΄.

Ἀστρογνωσία εἴρηται ἀπὸ τῆς τῶν ἀστέρων γνώσεως. ἔστι δὲ ἐπιστήμη, ἀναπτύσσουσα τὰς φάσεις, καὶ σχήματα τῶν ἐν τῷ οὐρανῷ ἀστέρων. — Ἀστρογν. τί ἐστι.

### §. β΄.

Οἱ ἀστέρες εἰσὶ σώματα φυσικὰ, ἁπλᾶ, τηλαυγῆ, σφαιροειδῆ, καὶ ἀεικίνητα, διαφόροις χαρακτῆρσιν, ἢ σημείοις ἀπ' ἀλλήλων διαφέροντα. Ἰωάννης ὁ Καρμοὴλ οἴεται τοὺς ἀπλανεῖς ἀστέρας εἶναι ἀντίφωτον τοῦ ἡλίου, δυνάμει τῆς ἀντανακλάσεως. Ὁ δὲ Ἀντώνιος Μάρια Συρλαῖος, οἴεται αὐτοὺς εἶναι μέρος φλογῶδες τοῦ ἐμπυρίου οὐρανοῦ, πανταχόσε ἀναπέμπον τὰς μαρμαρυγὰς αὐτοῦ, δι' ὀπῶν δὲ, ἢ διὰ τῶν μᾶλλον διαφανῶν μερῶν τοῦ κατωτέρου οὐρανοῦ διαστίλβον. Ἀστέρ. τί.

Οἱ ἀστέρες εἰσὶν, ἢ ἀπλανεῖς, ἢ πλανῆται. αὖθις, ἢ τακτικοὶ, ἢ ἔκτακτοι, οἷος ἦν ὁ ὑπὸ

τῦ Τύχωνος τῷ ἔτει 1572 ἐν τῇ Κασσιοπείᾳ παρατηρηθείς. οἱ πλανῆται εἰσὶ κινητοὶ, πλασθέντες ὑπὸ τὴν ὀγδόην σφαῖραν, τὴν θέσιν πρόστε ἀλλήλυς, πρόστε τὺς ἀπλανεῖς μεταβάλλοντες. Οὗτοι εἰ ϗ παρὰ τῶν Ἑλλήνων λέγονται πλανᾶσθαι, τῷόντι ἔμπης ὡρισμένῳ τινι διαστήματι περιφέρονται. Ὁ Κικέρων τὴν τάξιν τῶν πλανητῶν τύτῳ τῷ ἀξιομνημονεύτῳ ἔπει ἡμῖν ἐγκατέλειπε.

Post sim, sum, sequitur ultima Luna subest.

## §. γ.

ὑποθέσ. Ἀστρονόμ. Τρεῖς εἰσὶν αἱ κατ᾽ ἐξοχὴν ὑποθέσεις τῶν ἐπισημοτέρων Ἀστρονόμων, περὶ τῆς τάξεως τῶν οὐρανίων σωμάτων.

Πτολεμαίου τοῦ μετὰ Χριστὸν τῷ δευτέρῳ αἰῶνι ἀκμάσαντος.

Νικολάυ Κοπερνίκυ τῦ ἐκ πόλεως Τορύνῳ, τῷ δεκάτῳ πέμπτῳ αἰῶνι. ϗ τῦ,

Τύχωνος τῷ αὐτῷ αἰῶνι.

## §. δ.

ἀπόστ. ἀπλαν. ἀςέρ. Ἡ ἀπόστασις τῶν ἀπλανῶν ἀστέρων, ἐξ ὑποθέσεως μονονυχὶ συνάγεται. τῷ μὲν Κοπερνίκῳ δοκεῖ 7850000 ἡμιδιαμέτρων τῆς γῆς εἶναι, τυτέστι 6751000000 σημείων γερμανικῶν. τῷ δὲ Τύχωνι 14000 ἡμιδιαμέτρων γηΐνων· ταὐτὸν εἰπεῖν 12040000 γερμανικῶν σημείων.

## §. ε.

μεγέθ. εἴδ. ἀπλαν. Ἓξ μεγέθων εἴδη τῶν ἀπλανῶν ἀστέρων κοινῶς παρὰ τῶν Ἀστρονόμων διατάττονται· ἕτεροι δὲ προστιθέασι ἀμυδρὺστε ϗ νεφελώδυς.

πρῶτ. μεγέθ. Οἱ τῦ πρώτυ μεγέθυς ἀπλανεῖς ἀστέρες, κατὰ τὺς ἀρχαίυς εἰσὶν ἑκατὸν ἑπτάκις μείζονες

τῆς γῆς. κατὰ δὲ τὸν Τύχωνα ἑξηκοντάκις ὀκτάκις, ϰ̔ σχεδὸν δυο λεπτῶν τῆς διαμέτρȣ. τοιȣ̃τοι δέκα πέντε κοινως ἐπαριθμȣ̃νται ἐν τῷ οὐρανῷ. τρεῖς ἐν τῷ βορείῳ κλίματι, θȣθεσθιν, ἡ λαμπρᾶ Λύρα ἡ Αἲξ, ϰ̔ ὁ Ἀρκτȣ̃ρος. πέντε ἐν τῷ Ζωδιακῷ, θȣθέσθιν, ὁ ὀφθαλμὸς τȣ̃ Ταύρȣ ἡ καρδία ϰ̔ οὐρὰ τȣ̃ Λέοντος ὁ στάχυς τῆς Παρθένȣ, ϰ̔ ἡ καρδία τȣ̃ Σκορπίȣ. ϰ̔ ἑπτὰ ἐν τῇ Μεσημβρινῇ τȣ̃ οὐρανȣ̃ χώρα, θȣθήσθιν, Κύων ὁ μέγας — Κύων ὁ μικρὸς — δύο ἐν τῷ Ωρίωνι — εἷς ἐν τῷ ἄκρῳ τȣ̃ Ἠριδανȣ̃ — ὁ Κάνωβος — ϰ̔ ἡ Φομαχάνδ.

Οἱ τȣ̃ δευτέρȣ μεγέθȣς ἀπλανεῖς ἀστέρες κατὰ μὲν τȣ̀ς ἀρχαίους εἰσὶν ἐννενηκοντάκις μείζονες τῆς γῆς. κατὰ δὲ τὸν Τύχωνα εἰκοσιοκτάκις ϰ̔ ἥμισυ μείζονες τῆς γῆς ϰ̔ $1\frac{1}{2}$ λεπτὸν τῆς διαμέτρȣ τῆς γῆς. τοιȣ̃τοι τεσσαράκοντα πέντε ἐπαριθμȣ̃νται, δέκα ϰ̔ ὀκτὼ πρὸς Βορέαν. ἐννέα ἐν τῷ Ζωδιακῷ. ϰ̔ δέκα ὀκτὼ πρὸς Μεσημβρίαν. δευτ. μεγέθ.

Οἱ τȣ̃ τρίτȣ μεγέθȣς ἀπλανεῖς αστέρες, κατὰ μὲν τοὺς ἀρχαίσος εἰσὶν ἑβδομηκοντάκις δύο μείζονες τῆς γῆς, κατὰ δὲ τὸν Τύχωνα ἐνδεκάκις μείζονες ϰ̔ $1\frac{1}{2}$ λεπτὸν τῆς διαμέτρȣ. τοιȣ̃τȣς διακοσίȣς ϰ̔ πέντε οἱ Ἀστρονόμοι παρετήρησαν. ὀγδοήκοντα ϰ̔ ἕνα πρὸς βορέαν ἑξήκοντα ϰ̔ τέσσαρας ἐν τῷ Ζωδιακῷ — ϰ̔ ἑξήκοντα πρὸς μεσημβρίαν. τρίτ. μεγέθ.

Οἱ τȣ̃ τετάρτȣ μεγέθȣς ἀπλανεῖς ἀστέρες εἰσὶ πεντηκοντάκις πέντε κατὰ τȣ̀ς ἀρχαίȣς μείζονες τῆς γῆς, κατὰ δὲ τὸν Τύχωνα τρὶς ϰ̔ ἥμισυ ϰ̔ τεσσαράκοντα ϰ̔ πέντε λεπτῶν τῆς διαμέτρȣ. τοιȣ̃τοι τετρακόσιοι ϰ̔ ἑβδομήκοντα ἑπτὰ παρατηρȣ̃νται. τετάρτ μεγέθ.

Οἱ τȣ̃ πέμτȣ μεγέθȣς εἰσὶ κατὰ μὲν τȣ̀ς παλαιȣ̀ς τριακοντάκις ἓξ, κατὰ δὲ τὸν Τύχωνα ἅπαξ μείζονες τῆς γῆς. ἡ ἀναλογία τῆς διαμέτρȣ πέμπτ. μεγέθ.

αὐτῶν ϗ τῆς γῆς ἔστιν οἱονεὶ τὰ πεντήκοντα πρὸς τεσσαράκοντα ἐννέα. τοιῦτοι διακόσιοι δέκα ϗ ἑπτὰ παρετηρήθησαν ὑπὸ τῶν Ἀστρονόμων.

ἕκτ. μεγέθ. Οἱ τῦ ἕκτυ μεγέθυς εἰσὶν ὑ πολλῷ ἥττονες τῆς γῆς. ἐπαριθμῦνται ὕτοι τεσσαράκοντα ϗ ἐννέα. —

ἀστέρ. ἀμυδρ. Ἀμυδροὶ Ἀστέρες καλῦνται οἱ μέρος μὲν, διὰ τὴν ὑπερβάλλυσαν ἀπόστασιν. μέρος δὲ, διὰ τὴν τῦ φωτὸς μανότητα, τὴν τῶν ἀνθρώπων ὅρασιν διαφεύγοντες. τοιῦτοι τοίνυν ἐννέα παρατηρῦνται.

ἀστέρ. νεφελ. Νεφελώδεις Ἀστέρες καλῦνται οἱ μετὰ τῶν ἄλλων στενωτέρως πως εἰσὶν ἡνωμένοι, ϗ δίκην νεφέλης ὁρώμενοι. τοιῦτοι παρὰ τῦ Κεπλέρυ δέκα ϗ τέσσαρες ἐπαριθμῦνται. πρῶτος ἔστιν, ὁ ἐν τῷ στήθει τῦ Καρκίνυ — δεύτερος, ὁ ἐν τῷ κέντρῳ τῦ Σκορπίου — τρίτος, ὁ ἐν τῷ ὀφθαλμῷ τῦ Τοξότυ — τέταρτος, ὁ ἐν τῇ κεφαλῇ τῦ Ὠρίωνος — πέμτος, ὁ ἐν τῷ ἄκρῳ τῦ ποδὸς τῦ Ἡρακλέυς — ἕκτος, ὁ ἐν τῷ μετώπῳ τῦ Αἰγόκερω — ἕβδομος ϗ ὄγδοος, οἱ ἐν τῷ Ἀνατολικῷ αὐτῦ κέρατι — ἔννατος, ὁ ἐν τῷ Δυτικῷ αὐτῦ κέρατι — δέκατος, ὁ ἐν τῇ κοιλίᾳ αὐτῦ — ἑνδέκατος — ϗ δωδέκατος, οἱ ἐν τῷ Φοίνικι — δέκατος τρίτος — ϗ δέκατος τέταρτος, οἱ ἐν τῷ ταῶνι.

## §. στ′.

ἀστερισμ. διαίρεσ. Διαιρῦνται οἱ ἀστερισμοὶ εἰς Βορείυς, Ζωδιακὺς, ϗ Νοτείυς. τὺς Βορείυς ἀστερισμὺς μνημοσύνης χάριν κρείσσονος ἐν τύτοις τοῖς ἔπεσι περιέκλεισεν ὁ Αὐσόνιος.

Αὐσον. ἐπ. „Ἐν τοῖς τῦ βορέυ τρὶς ἑπτὰ ἀστερισμοὶ στίλβυσιν. Ἀρκτῦρος, Δράκων, Βοώτης, ἐν ταὐτῷ Στέφανόστε ἐγγόνασι. σὺν τούτοις ϗ Λύρα,

Ὄρνις, Κηφεύςτε, καὶ Κασιόπεια. Ἡνίοχος, Περσεύς, Δελτωτὸν, καὶ Ἀνδρομέδη. Πήγασος, Δελφὶν, καὶ Ὀϊστὸς, σὺν Ἀετῷ Ἡρακλεῖτε."

Τὰ δὲ δώδεκα ζώδια τάτη τῇ τάξει ἐπαριθμῦνται.

Κριὸς, Ταῦρος, Δίδυμοι, Καρκῖνος, Λέων, Παρθένος. Ζυγόςτε, καὶ Σκορπῖος, Τοξότης, Αἰγόκερως, Ὑδροχόος, καὶ Ἰχθύες. Ζωδίων. ἐπαριθμ.

Τὰ Νότια εἰσὶ ταῦτα.

Τρὶς πέντε σημεῖα περιελίσσονθαι ἐν τῷ νάτῳ.

Τὸ Κῆτος, καὶ Ἠριδανὸς, Λαγωὸς, καὶ Ὀμβρώδης, Ὠρίων. Σείριος, καὶ Προκύων, Ἀργὼ, Ὕδρατε, καὶ Κρατὴρ. Κόραξ, Κένταυρος, Λύκος, Βωμὸς Στέφανόςτε Ἰχθῦςτε. Νότια.

## §. ς.

Πρὸ πάντων ἔστω γνωστὸς ὁ Πολικὸς ἀστὴρ ὃς ἐφόδῳ θηρέυεται.

Ἡ μείζων Ἄρκτος, ἥτις καὶ ἄμαξα μείζων λέγεται (Ἰταλ. orsa maggjore) ἐξ ἑπτὰ ἴσων ἀστέρων συνίσταται, δευτέρε μεγέθες. ἔστι δ' αὕτη, καὶ αὐτοῖς τοῖς ἀγρίκοις ἀρίδηλος, ἐδέποτε δὲ αὔτη δύνει. διὰ τῶν ὀπισθίων τοίνυν δίω τροχῶν ταύτης ἄξον εὐθεῖαν γραμμὴν, ἥτις ἀποπερατοθήσεται, ἐν μονήρει τινὶ ἀστέρι ἴσῳ χεδὸν τοῖς εἰρημένοις τροχοῖς, καὶ ἐν μεσουρανήματι κείμενος, ἀναμέσον τε κατὰ κορυφὴν σημείου, καὶ τε ὁρίζοντος. αὐτὸς τοίνυν ἔστι ὁ πολικὸς ἀστὴρ, μεγέθους δευτέρε. οὗτος ἔντε ὄρθρῳ καὶ ἑσπέρᾳ τὸν αὐτὸν ἀεὶ ἐπέχει τόπον. οἱ δὲ γειτνιάζοντες αὐτῷ ἀστέρες, πάντες περὶ αὐτὸν περιπολᾶσι. ἄρκτος μείζ. Πολικ. ἀς.

Παρατήρησις. Ἡ μείζων ἄμαξα ἔστι μέρος ὀπίσθιον τῆς μείζονος ἄρκτε. ὥστε οἱ τροχοὶ αὐτῆς παριστάνεσι τὰς γλουτὰς, ὁ δὲ ῥυμὸς τὴν κυρτὴν αὐτῆς κέρκον. παρατήρ. τῆς μείζ. ἀμάξ.

πολικ. ἀς. Ὁ δὲ πολικὸς ἀστὴρ ἔστι τὸ ἄκρον τῆς ȣ̓ρᾶς τῆς ἐλάσσονος ἄρκτου, ἤτοι τὸ ἄκρον τȣ̃ ῥυμȣ̃ τῆς ἐλάσσονος ἁμάξης, ἧς οἱ ὀπίσθιοι τροχοὶ, ἀεὶ εἰσὶ παράλληλοι τοῖς δυσὶν ὀπισθίοις τοῖς ἐν τῷ ῥυμῷ τῆς μείζονος ἁμάξης.

σημ. ἀρκτ. ἐλάσ. Σημείωσις. Ἡ ἐλάσσων ἄρκτος, ἥτις ϗ κυνόσουρα λέγεται ἐξ ἑπτὰ ἀστέρων συνίσταται, β΄. β΄: ου μεγέθȣς, ά γ΄: ȣ μεγέθȣς, γ΄, δ΄: ȣ μεγέθȣς, ϗ ά. ε: ȣ μεγέθȣς. ἐν ταύτῃ ἔστιν ὁ Πολικὸς Ἀστὴρ, ὁ ἐγγύτατος τῷ ἀρκτικῷ πόλῳ, ϗ ἀνὰ πᾶν ἔτος ἐγγύτερος πρὸς αὐτὸν γενόμενος. Τύχων ὁ Βράης παρετήρησεν, ἀνὰ πᾶν ἔτος προσεγγίζειν αὐτὸν τῷ τȣ̃ Κόσμȣ πόλῳ. 20 δεύτερα λεπτὰ, ȣ̓δέποτε ἔμπης αὐτῷ παραγίνεται. ἀλλ᾽ ὅτε ἀποστῇ ἀπ᾽ αὐτȣ̃ ἑπτὰ δεύτερα λεπτὰ, ἀπέρχεται αὖθις ἀπ᾽ αὐτȣ̃. συμβαίνει δὲ τȣ̃το κατὰ μὲν τὸν Τύχωνα τῷ 2092 ἔτει, κατὰ δὲ τὸν Ῥικκίολον τῷ 2103 ἔτει.

ἀρκτ. μείζ. Ἡ μείζων Ἄρκτος περιέχει ἐν ἑαυτῇ εἴκοσι ϗ ἑπτὰ ἀστέρας ὁρατȣ̀ς. ὧν οἱ ἑπτὰ εἰσὶ δευτέρȣ μεγέθȣς· οἱ τρεῖς τρίτȣ μεγέθȣς· οἱ δώδεκα τετάρτȣ μεγέθȣς, ϗ οἱ ἓξ πέμπτȣ μεγέθȣς. πρὸς τȣ́τοις αἱ δύο ἄρκτοι τὴν αὐτὴν ἀεὶ θέσιν φυλάττȣσιν, ἡ γὰρ κεφαλὴ τῆς μιᾶς πρὸς τὴν τῆς ἑτέρας κέρκον στρέφεται· ἐπὶ δὲ τȣ̃ μέσȣ ἀστέρος, τοῦ ἐν τῇ οὐρᾷ ὄντος, μικρός τις ἀστὴρ ὁρᾶται Ἄλ-

ἀστ. ἄλκ. κορ παρ᾽ Ἄραψι κληϊζόμενος. τὴν μυθικὴν αὐτῆς ἐνάστρωσιν, κομψῶς πως περιγράφει ὁ Ὀβίδιος ἐν τῷ δευτέρῳ Βιβλίῳ τῶν Μεταμορφώσεων.

## §. ή.

κασσιόπ. Ἐκ τῆς μείζονος Ἄρκτȣ, ἄξον εὐθεῖαν γραμμὴν διὰ τȣ̃ Πολικȣ̃ ἀστέρος, ϗ εὑρήσεις ἐν τῷ ἀντικειμένῳ τόπῳ, ἐν ἴσῳ σχεδὸν διαστήματι ἀπὸ τȣ̃ πολικȣ̃ πέντε ἴσȣς σχεδὸν ἀστέρας μεγέθους

τρίτου, διατεθειμένυς ἐν χήματι τοιϋτῳ νν. οὗτοι παριστάνυσι τὴν Κασσιόπειαν, ἥτις οὐδέποτε δύνει.

Σημείωσαι, ὅτι ἐν ταύτῃ ὁ Τύχων παρετήρησε 45 ἀστέρας τῷ ἔτει 1572. Ἀνθηστεριῶνος ε. ἱσταμένυ νέος ἀστὴρ ἐφάνη, ὅστις ἐξ ἀρχῆς τῆς ἐπιφανείας αὐτοῦ ὐκ ἔλαττον τῆς Ἀφροδίτης διήυγαζε. τῷ δὲ ἔτει 1574 Μυνιχιῶνι αὖθις ἐξέλιπε. ἴδε περὶ τέτυ τῦ τέρατος τὸν εὐγεννῆ Τύχωνα.

§. θ'.

Τοὺς λοιπὺς ἀστέρας ῥᾴδιον ἐστι μαθεῖν ἐν χρόνῳ διατεταγμένῳ, τυτέστιν, ἐν τῷ τέλει τοῦ ἐλαφηβολιῶνος ὥρᾳ ζ' ἑσπερινῇ, ἢ γαμηλιῶνος ὥρᾳ θ' ἑσπερινῇ, ἢ ποσειδεῶνος ὥρᾳ ιά ἑσπερινῇ, ἢ ἀνθηστεριῶνος ὥρᾳ ί ἑωθινῇ, ἢ πυανεψιῶνος ὥρᾳ γ' ἑωθινῇ, ἢ μεμακτεριῶνος ὥρᾳ έ ἑωθινῇ. ἀστέρ.

Κατὰ κορυφὴν ἔστιν ἡ Αἴξ. πρώτου μεγέθυς μετὰ τριῶν ἐλαχίστων πλησιεστέρων ἀστερων ἐν τριγώνῳ ἰσοσκελῶν, ὀξυγονίῳτε χήματι διατεθειμένων, οἵτινες παριστάνυσι τὰς δύω ὑάδας. οἱ δύο λαμπρότεροι τῦ δευτέρυ μεγέθυς, οἱ τῇ Αἰγὶ πλησιάζοντες, ϗ πρὸς ἀνατολὰς σὺν τοῖς λοιποῖς γειτνιάζοντες, ἀποτελῦσι τὸν Ἡνίοχον, ὅστις φέρει τοῖς ὤμοις τὴν Αἶγαν. αἴξ. ὑάδ. Ἡνίοχ.

§. ι.

Ἐντεῦθεν πρὸς Μεσημβρίαν ἐν μεσουρανήματι ἔστιν ὁ Ὠρίων, οὗ ἡ ζώνη τρεῖς ἀστέρες εἰσὶν, ἅιτινες ἑνὶ ἑκάστῳ εἰσιν ἀρίγνωτοι. ἐν μὲν τῷ ἄνω μέρει εἰσὶν οἱ δύο ὦμοι τῦ πρώτυ ϗ δευδευτέρυ μεγέθυς, ἐν δὲ τῷ κατωτέρῳ, οἱ δύο πόδες μετὰ τῶν ὤμων χεδὸν ὀρθογώνιον ἀποτε- ὠρίων.

λεσιν. ἐν τῷ μέσῳ τέτῳ ἔστιν ἡ ζώνη, ἐξ ἧς τὸ ξίφος ἤρτηται.

σημείωσ. ὠρίων.

Σημείωσις. Περιέχει ὁ ὠρίων κατὰ μὲν τὸν Τίχωνα 42 ἀστέρας, τὸν δὲ Γαλιλαῖον φασὶν, ὅτι ἐν μόνῃ τῇ κεφαλῇ ἐπέκεινα τῶν 80 παρατηρῆσαι. γράφεσιν οἱ ποιηταὶ ὅτι ὁ Ζεὺς, ὁ Ποσειδῶν, ϗ ὁ Ἑρμῆς, συνελθόντες ἐν τῇ τε Ὑραίε οἰκίᾳ, φιλοτίμως πως ἐδέχθησαν παρ' αὐτε. οἱ δὲ ἠξίωσαν αὐτὸν αἰτῆσαι ὃ ἂν βέλεται. ὁ δὲ ἐκ ἄλλο, εἰ μὴ υἱὸν (ϗ ταῦτα ἄγαμος ὢν) ἤτησε. οἱ θεοὶ τοίνυν ἐπὶ δορᾷ ἐγκαίρῳ βοὸς ἐρήσαντες προσέταξαν τῷ Ὑρέει ὑπὸ γῆν κατακρύψαι. ὅθεν μετὰ ἐννέα μῆνας ὁ Ὠρίων ἀνέθορεν, ϗ τὴν ὀνομασίαν ἐκ τε οὔρες ἐκληρώσατο. τηλικετος δὲ ἦν, ὥστε ἐδὲν βάθος ἦν, ὃ μὴ τελάχιστον τοῖς ὤμοις ὑπερέβαινεν.

## §. ιά.

λαγωός.

Ὑπό τῶν τε Ὠρίωνος ποδῶν ὁ Λαγωὸς κεῖται ἐκ πέντε μόνον ἀστέρων συνιστάμενος μεγέθες τρίτου.

## §. ιά.

δίδυμοι.

Ἐκ τῆς Αἰγὸς πρὸς ἀνατολὰς εἰσὶν οἱ Δίδυμοι, ὧν αἱ δύο κεφαλαὶ εἰσὶ μεγέθες δευτέρε, ϗ τῷ ὤμῳ τε Ὠρίωνος μετὰ τῆς Αἰγὸς ἀποτελεῖ τρίγωνον ἰσόπλευρον. οἱ πόδες αὐτῶν, οἵτινες εἰσὶ δευτέρε καὶ τρίτε μεγέθους πρὸς τὸν Ὠρίωνα ἐκτείνονται, ϗ μετὰ τῶν κεφαλῶν ἀποτελεσι σχεδὸν προμήκες ὀρθόγωνον τῷ Ὠρίωνι παραπλήσιον.

σημειωσ.

Σημείωσις. Ἡ μὲν δυτικὴ κεφαλὴ ἡ τῇ Αἰγί, ϗ τῷ πολικῷ ἀστέρι γειτνιάζεσα ἔστιν ἡ τε Κάστορος. ἡ δὲ ἀνατολικὴ τε Πολυδεύκες.

σημείωσ. διδύμ.

Σημείωσις. Οἱ τοὺς Διδύμες παριστάνοντες ἀστέρες ὑπῆρχον υἱοὶ τε Διός, ϗ τῆς Λήδας,

λίαν φιλικῶς ἀλλήλων διακείμενοι. τὸν λόγον τῆς ὀνομασίας ταύτης οἱ νεώτεροι νομίζουσιν εἶναι ὅτι, ὅτε ὁ Ἥλιος ἐπέχει τοὺς διδύμους, αἰτιᾷ μεγίστην εὐκαρπίαν, ϗ χρόνον ἁρμόδιον εἰς γάμους. εἰς πανηγύρεις, ϗ εὐθυμίας. ὅθεν οὗτος ὁ ἀστερισμὸς παρετηρήθη λίαν ἀγαπᾶσθαι παρὰ τοῦ Ἡλίου.

§. ιγ΄.

Ἀναμέσον τῆς ἀνατολῆς ϗ μεσημβρίας, ἐν Κύων μείζ.
αὐτῇ σχεδὸν τῇ γραμμῇ, τῶν τριῶν ἀστέρων τῆς ζώνης τοῦ Ὠρίωνος κεῖται ὁ μείζων Κύων, ὃς ἐν τῷ στόματι τὸν Σείριον ἀστέρα μεγέθους πρώτου ἁπάντων τῶν ἀπλανῶν τὰ μάλιστα διαστίλβοντος. ὁ πρόσθειος αὐτοῦ ποὺς δευτέρου μεγέθους ὤν, κεῖται πρὸς τὸν λαγωόν. οἱ δὲ λοιποὶ κάτω τοῦ Σειρίου προτείνονται.

§. ιδ΄.

Μεταξὺ τοῦ Σειρίου, ϗ τῶν κεφαλῶν τῶν Κύων μικρ.
διδύμων ἐν τῷ μέσῳ σχεδὸν τόπῳ βραχύτι ἀνατολικοτέρως, κεῖται ὁ μικρὸς Κύων πρώτου μεγέθους.

§. ιε΄.

Ἐκ τῶν ὀπισθίων τροχῶν τῆς μείζονος ἁμά- Λέων.
ξης ἄξον γραμμὴν ἐν αὐτῇ σχεδὸν τῇ ἀνατολῇ εὑρήσεις τὸν λέοντα, ὅστις ἔχει τέσσαρας ἐπησιμοτέρους ἀστέρας ἐν σχήματι τραπεζίου διατεθειμένους, ϗ ῥᾳδίως δυναμένους νοηθῆναι ὡς τὸ λατινικὸν γράμμα C τὸ κοῖλον ἔχον πρὸς μεσημβρίαν. τούτων κατωτέρα ϗ ἀνατολικωτέρα ἐστὶν ἡ οὐρὰ τοῦ λέοντος μεγέθους πρώτου. δυτικωτέρα δέ, ϗ κατωτέρα ἐστὶν ἡ καρδία τοῦ λέοντος πρώτου ἢ δευτέρου μεγέθους δύο βόρειοι.

σημείωσ. λέοντ. Σημείωσις. Μυθολογία ἐστὶ τῶν ποιητῶν, ὅτι ὁ λέων ἐτράφη διὰ ἐπιταγῆς τῆς Ἥρας ἐν τῇ σελήνῃ, κἄπειτα ἐν τῷ νεμαίῳ δρυμῶνι ἐκτεθεὶς ἐπὶ φθορᾷ τοῦ Ἡρακλέους. ἀλλ' οὖν ὁ Ἡρακλῆς τῷ ῥοπάλῳ τοῦτον ἀπέκτεινε. καὶ τὴν δορὰν αὐτοῦ λαβὼν εἰς ἀσπίδα ἐχρήσατο. ἕτεροι δὲ τὴν ὀνομασίαν ταύτην ὑπολαμβάνουσι γεγονέναι, διὰ τὴν θερμὴν φύσιν τῶν λεόντων. ὁ γὰρ ἥλιος τὸ σημεῖον τοῦτο ἐπέχων αἰτιᾶ μέγαν καύσωνα. ὅθεν ὁ Σένεκας εἶπεν. Leo flammiferis aestibus ardens. τουτέστιν ὁ λέων φλογοφόρῳ καύσωνι αἴθων. —

## §. ιϛ'.

καρδία.ὕδρ. Ἀναμέσον τῆς ἀνατολῆς, καὶ τῆς μεσημβρίας ἐν τῇ αὐτῇ γραμμῇ τῶν δύω πρώτων (δυτικωτέρων) τοῦ λέοντος ἔστιν — — — — — — διάστημα ἡ καρδία τῆς Ὕδρας πρώτου καὶ δευτέρου μεγέθους.

## §. ιζ'.

καρκίν. φάτνη. Μέσον τῶν ποδῶν τῶν διδύμων καὶ τῶν προσθίων ποδῶν τοῦ λέοντος ἴσῳ σχεδὸν διαστήματι κεῖται ἡ νεφελώδης φάτνη τοῦ Καρκίνου, οἷον λευκήν τινα νεφέλην παριστάνουσα. οἱ γειτνιάζοντες ἀστέρες τοῦ Καρκίνου εἰσὶ πάντες ἀμυδροί.

σημείωσ. Σημείωσις. Πιθανὸν δοκεῖ ὅτι τὸ ἄστρον τοῦτο τὴν ὀνομασίαν εἴληφεν ἐκ τοῦ ἀναποδίζειν, τὸν ἥλιον τὸν ἀστερισμὸν τοῦτον καταλαβόντα αὐτίκα καρκίνου δίκην.

Τρεπτέον ἤδη τὴν ὄψιν πρὸς δυσμάς.

## §. ιή.

πλειάδ. Παρὰ τῇ Αἰγὶ, καὶ τῷ Ὠρίωνι εἰσὶν αἱ Πλειάδες (αἵτινες Βεργίλιαι λατινιστὶ κληΐζονται,

Οὐγκαριστὶ δὲ fiastyuk) αὗται εἰσὶν ἐνὶ ἑκάστῳ γνωσταί.

Ἀναμέσον τέτων ϗ τῦ δυτικῦ ὤμυ τῦ Ὠρίωνος κεῖνται τινὲς ἀστέρες ἐν χήματι V διατεθειμένοι. Ὑάδας ταύτας οἱ Ἕλληνες καλέσιν, οἱ δὲ Λατῖνοι Σέκουλες· τέτων διαυγεστάτη ἡ τελευταῖα, ἥ ἐστιν ὁ τῦ Ταίρυ ὀφθαλμὸς, Ἀδελβάραν ταίτην οἱ Ἄραβες λέγυσιν, ἔστι δὲ μεγέθυς πρώτυ. ὑάδες,

Σημείωσις. Αἱ Πλειάδες εἰσὶν ἐν τῷ τραχήλῳ τῦ Ταύρυ, αἱ δὲ Ὑάδες ἐν τῷ μετώπῳ αὐτῦ. τὰ κέρατα τῦ Ταύρυ εἰσὶν ἀναμέσον τῆς Αἰγὸς ϗ τῦ ὤμυ τῦ Ὠρίωνος. τὸ βόρειον κέρας συμπίπτει τῷ ποδὶ τῦ Ἡνιόχυ. σημείωσ.

## §. ιθ΄.

Ἐκ τῦ πολικῦ ἀστέρος ἀχθεῖσα γραμμὴ διὰ τῆς Κασσιοπείας ἀποπερατωθήσεται ἐν τρισὶν ἴσοις ἀστέροις μεγέθους δευτέρυ διατεθειμένοις ἐν γραμμῇ ἠρέμα λοξουμένῃ πρὸς τὸν πολικὸν πόλον, ὐχὶ λίαν πλησίον ἀπ᾽ ἀλλήλων κειμένων. οὗτοι (μετὰ τῶν ἐλαχίστων γειτνιαζόντων) ἀποτελῦσι τὴν Ἀνδρομέδαν, ὧ ὁ μεσημβρινὸς ἔστιν ἡ κεφαλὴ τῆς Ἀνδρομέδης, ὁ ἀνατολικὸς ὁ πῦς, ϗ ὁ μέσος ἡ ζώνη. ἀνδρομέδ.

Σημείωσις. Ἡ ἱστορία τῆς ἐναστρώσεως ὕτω περιγράφεται. Κασσιόπεια ἡ γυνὴ τῦ Βασιλέως τῶν Αἰθιόπων Κηφέως, τῇ ὡραιότητι, ϗ θαυμασίᾳ αὐτῆς μορφῇ ἁμιλλᾶτο τῇ Ἥρᾳ, ϗ ταῖς νύμφαις νηρηΐδες. ὁ Ποσειδῶν χάριν τῆς αἰτῶν παρακλήσεως πέπομφε τέρας τι ἐνάλιον εἰς ὄλεθρον τῆς χώρας. ἐρωτηθεὶς δὲ ὁ χρησμὸς, ἀπεκρίνατο, εἰμὴ ἡ θύγατηρ αὐτῆς Ἀνδρομέδα ῥιφθῇ εἰς βορὰν τῦ θηρίυ ὐκ ἀποστήσεται τὸ κακὸν τῆς χώρας. ῥιφθείσης τοίνυν τῆς ἀθώου σημείωσ.

παρθένου Ἀνδρομέδης, ϗ τῶν θεῶν οἰκτειράντων αὐτὴν, πεπόμφασι τὸν Περσέα, τῇ κεφαλῇ τῆς Μεδούσης. ὁ δὲ δείξας τοὺς γοργονείες ὄφεις, τὸ θηρίον μέρος μὲν ἐν λίθῳ μετέβαλε, μέρος δὲ τῷ ξίφει ἐπέτεμε, ϗ ἀνεβίβασε τὴν Ἀνδρομέδαν πρὸς τὸν βόρειον πόλον, ἐν τῷ χωρῷ ἐν ᾧ ὁ Κηφεὺς, ϗ ἡ γυνὴ αὐτȣ̃ Κασσιόπεια μετὰ τȣ̃ Περσέως διαστίλβει.

## §. κ΄.

περσεύς. Οἱ μεταξὺ τȣ̃ ποδὸς, τῆς Ἀνδρομέδης ϗ τῆς Αἰγὸς (ὄντες ἀστέρες ἐν τῇ αὐτῇ γραμμῇ μετὰ τῶν πλειάδων καὶ τοῦ πολικοῦ ἀστέρος) ἀποτελοῦσι τὸν Περσέα. ὧν ὁ εἷς ὁ ἐν τῷ ὤμῳ αὐτοῦ μᾶλλον διαυγάζει. β΄. μεγέθȣς, ἀλλὰ ϗ οἱ ἐν τῷ Γαλαξίᾳ ὄντες οὐκ εἰσὶν ὀλιγωρητέοι.

## §. κα΄.

κριός. Ἐκ τῆς Κασσιοπείας ἀχθεῖσα γραμμὴ διὰ τοῦ ποδὸς τῆς Ἀνδρομέδης, ἐμπεσεῖται ἐν ἴσῳ διαστήματι, εἰς τρεῖς ἱκανῶς γειτνιάζοντας ἀστέρας γ΄. ϗ δ΄ μεγέθȣς, οὐκ κατ᾽ εὐθεῖαν γραμμὴν διατεταγμένȣς οἵτινες εἰσὶν ἐν τῷ κριῷ.

σημείωσ. Σημείωσις. ὁ χρισόμαλος οὗτος κριὸς ἐγεννήθη ἐκ τȣ̃ Ποσιδῶνος ϗ Θεοφάνης ὃν ἐπιβȣλευθεὶς ὁ Φρίξος ἀπέφυγε τας ἐπιβȣλὰς τῆς αὐτȣ̃ Μητρυιᾶς, ἐκδείρας δὲ αὐτὸν, ϗ λαβὼν τὸ χρησοῦν δέρας, τὸν κριὸν τοῖς θεοῖς εἰς θυσίαν προσήγαγεν.

## §. κβ΄.

κῆτος. Ἐκ τῆς ζώνης τῆς Ἀνδρομέδης ἀχθεῖσα γραμμὴ διὰ τȣ̃ κριȣ̃ ἐμπεπεῖται ἐν τρισὶν ἄλλοις ἀστέροις εἰς τὴν αὐτὴν σχεδὸν θέσιν ἔχουσιν, ἣν ϗ ὁ Κριὸς ἀλλὰ βραχύτι ἐλάσσονες. αὐτοὶ εἰσὶν

ἐν τῇ κεφαλῇ τȣ̃ Κήτȣς οὗ τὸ λοιπὸν σῶμα πρὸς δυσμὰς προτείνεται. -

§. κγ'.

Η' τῆς 'Ανδρομέδης κεφαλὴ μετὰ τριῶν χεδὸν ἴσων πρὸς δυσμὰς κειμένων ἀποτελεῖ χεδὸν ἐντελὲς τετράγωνον οἱ τρεῖς ἐκεῖνοι ἀστέρες εἰσὶν ἐν τῷ Πηγάσῳ οὗ ἡκεφαλὴ ἐκτείνεται εἰς μάκρος πρὸς δυσμάς. πήγασος.

Σημείωσις. Οὗτος ὁ ἀστερισμὸς συνίσταται ὁλικῶς ἐξ 20 ἀςέρων. περὶ τȣ̃ πηγάσȣ ἔστι κοινὴ γνώμη τῶν μυθολόγων, ὅτι ἐκ τȣ̃ Ποσειδῶνος ϗ Μεδόυσης γεγέννηται. λέγουσι τινὲς ὅτι ὁ Βελεροφῶν. ἐν τῇ μετὰ χιμαίρας μάχῃ τȣ̃τον τὸν ἵππον ἐχρήσατο. ὁ Βελεροφῶν βȣληθεὶς ἀναβῆναι ἐις ὀυρανὸν ϗ παρὰ τῶν θεῶν ἀποκτανθεὶς ὁ Πήγασος συνετάγη τοῖς ἄστρασι. πρὸς τȣ̃τοις φασὶ περὶ τȣ̃ Πηγάσȣ, ὅτι τὴν τῶν Μουσῶν κρήνην ἐν ἑλικῶνι τῇ ὁπλῇ αὐτȣ̃ ἤνοιξεν. ἴδε τὸν 'Οβίδιον fastorum βιβλ. γ'. σημείωσ.

Τȣ̀ς λοιπȣ̀ς ἀστερισμȣ̀ς ῥαδίως γνώσῃ,

'Εν τῇ ἀρχῇ τȣ̃ Μαιμακτηριῶνος ὥρᾳ ή. ἑσπερινῇ, ἢ βοηδρομιῶνος ὥρᾳ 10. ἑσπερινῇ, ἢ μεταγειτνιῶνος ὥρᾳ 12. τῆς νυκτὸς, ἢ ἑκατομβαιῶνος ὥρᾳ 12 ἑωθινῇ. ὅτε ἡ μείζων ἄρκτος κεῖται μεταξὺ τῆς δύσεως, ϗ τȣ̃ βορέως.

§. κδ'.

Κατὰ κορυφὴν ἔστιν ἡ λαμπρὰ λύρα ά. μεγέθȣς. συνίσταται αὕτη ἐξ ἕνδεκα ἀστέρων ὧν ἐξέχει εἷς λαμπρὸς ἀστήρ· ἣν αὕτη ἡ λύρα τȣ̃ 'Ορφέως, τȣ̃ υἱȣ̃ τȣ̃ 'Απόλλωνος ϗ τῆς θυγατρόςτου Καλλιόπης παρὰ τȣ̃ πατρὸς αὐτῇ δοθείσης. λύρα.

§. κέ.

ἀρκτῦρ. ἀρκτοφύλαξ βοώτης. Κἀτ' εὐθεῖαν γραμμὴν τῦ ῥυμῦ τῆς μείζονος ἀμάξης κεῖται πρὸς δυσμὰς ὁ Ἀρκτῦρος ά μεγέθους ὅστις κεῖται ἐν τῷ μηρῷ τῦ Ἀρκτοφύλακος ἤτοι τῦ βοώτυ οὗτινος τὸ σῶμα πρὸς τὰ ἄνω ἐκτείνεται.

σημείωσ. Σημείωσις. ὁ Βοώτης οὗτος ἦν ὑιὸς τῦ Διὸς, ϗ τῆς Καλιστῶ ἔκγονος τῦ Λυκάονος, ὅστις προσήχθη τῷ Διΐ προσφάγιον.

§. κστ'.

στέφαν. βόρειος. Ἀναμέσον τῦ Ἀρκτῦρου ϗ τῆς λαμπρᾶς λύρας κατ' εὐθείαν γραμμὴν, ἐγκυτέρως ἔμπης τῷ Ἀρκτῦρῳ κεῖται ὁ βόρειος στέφανος· ὅστις συνίσταται ἐκδιαφόρων γειτνιαζόντων ἀστέρων ϗ ἡμικύκλιον ἀποτελῶν, ὧν εἷς ἔστι πλοῖον τῶν ἄλλων τὰς μαρμαρυγὰς διαπέμπων. ἔστιδὲ β' μεγέθυς. οἱδὲ λοιποὶ εἰσὶν ἐλάσσονες.

§. κζ'.

σκορπῖος Ἀναμέσον τῆς μεσημβρείας ϗ τῆς δύσεως ἔστιν ὁ ἀστερισμὸς τῦ σκορπίυ γειτνιάζων τῷ ὁρίζοντι. ἔχων σχῆμα τῦ Τ. ἢ τῆς λαβίδος τῆς ἄρπης. ἐν ᾧ εἷς ἔστιν ἐξέχων, τυτέστιν ἡ καρδία τῦ σκορπίου (λατινιστὶ Ἀντάρης λεγόμενος,) ζ'. μεγέθους. περὶ τῦτον εἰσὶ ϗ ἄλλοι τινὲς ἱκανῶς τὴν λαμπρότητα κεκτημένοι.

σημείωσ. Σημείωσις. ὁ σκορπῖος ἦν, προασπιστὴς, ϗ ἔκδικος, τῆς ἁγνείας τῆς Ἀρτέμιδος κατὰ τῦ Ὠρίονος.

§. κή.

κύκνος. Τῇ λαμπρᾷ λύρα ἐγγύτερος ἔστι πρὸς ἀνατολὰς ὁ Κύκνος ἐν αὐτῷ τῷ γαλαξίᾳ, πρὸς τὸν

σκορπίου προτεινόμενος. ἐν αὐτῷ εἰσὶν ἓξ ἀστέρες σταυρῦ χῆμα παρεμφένοντες, ϗ ὑπὲρ τὰς λοιπὰς διαυγάζοντες, ὧν ὁ πρὸς βορέαν τελευταῖος ὃ μᾶλλον τῶν ἄλλων διαυγάζων ἔστιν ἡ τῦ Κύκνυ κέρκος δευτέρυ μεγέθυς. ὁ δὲ τράχηλος ϗ κεφαλὴ τῦ Κύκνυ τὸ ἀντικείμενον μέρος ἐν τῷ γαλαξίᾳ.

## §. κθ.

Ἐντεῦθεν βραχύτι κατωτέρως πρὸς μεσημβρίαν χεδὸν ἐν μεσυρανήματι διαστίλβει ἕτερος ἀστὴρ μέσον δύο ἐλαττόνων, ὅστις ἔστι ἐν τῷ τῦ Ἀετῦ τραχήλῳ ἢ γυπὸς πετωμένυ. ἀετός.

Ἐντεῦθεν βραχύτι κατειὼν πρὸς μεσημβρίαν χεδὸν ἐν μεσυρανήματι ἔστιν ἕτερος ἀστήρ.

## §. λ'.

Πλησίον τῦ ἀετῦ πρὸς ἀνατολὰς κεῖται ἀθροισμάτι ἀστέρων ἀμυδρῶν τρίτυ, ϗ τετάρτυ μεγέθυς, παριστάνον τὸν Δελφῖνα. δελφίν.

Σημείωσις. τῦτον τὸν Δελφίνα φασί τινὲς εἶναι τὸν σώσαντα τὸν περίφημον κιθαρῳδὸν Ἀρίωνα, τὸν ἐν τῷ πελάγει ὑπὸ τῶν ναυτῶν ῥιφθέντα. σημείωσι

## §. λά.

Ἐκ τῦ Ἀετῦ πρὸς δυσμὰς ἀντίκειται ἡ κεφαλὴ τῦ Ὀφιέχυ δευτέρυ, ἢ τρίτυ μεγέθυς. οἱ δύο τῦτοι ἀστέρες μετὰ τῦ ἀετῦ, ϗ τῆς λαμπρᾶς λύρας, ἀποτελῦσι χεδὸν τρίγωνον ἰσόπλευρον. τὸ δὲ λοιπὸν σῶμα τῦ Ὀφιέχυ ἐκ τῆς κεφαλῆς πρὸς τὸν σκορπίον προτείνεται. τὰ δὲ ἐγγὺς τῦ στεφάνυ πρὸς τὸν σκορπίον ὁρώμενα πέντε ἢ ἕξ, μεγέθυς τετάρτυ, ἀποτελῦσι τὴν κεφαλὴν ϗ τράχηλον τῦ ὄφεως, ὃν κατέχει ἐν χερσὶν ὁ Ὀφιῦχος. ὀφιῦχ. ὄφις.

§. λβ.

ζυγός. Ἐκ τ8 σκορπίυ πρὸς δυσμὰς, ἐν ἴσῃ χεδὸν διαστάσει εἰσὶ δύο ἀστέρες δευτέρυ μεγέθυς ἐν τῷ ζυγῷ κείμενοι. ϗ ὁ μὲν μεσημβρινώτερος ἡ νοτεία πλάστιγξ ἐστί τ8 ζυγ8. ὁ δὲ βορειώτερος ἐν τῷ ζυγῷ τῆς Τρυτάννης κεῖται.

σημείωσ. Σημείωσαι, μετὰ τὴν τελευτὴν τ8 Καίσαρος, ἐν τῷ σημείῳ τ8τῳ Κομήτης τις ἐφάνη, ὃν τινὲς ὑπέλαβον τὴν τ8 Καίσαρος εἶναι ψυχήν. τὸ χῆμα τ8 ἀστερισμ8 τ8τυ, ἔστιν 8κ ἀνόμιον τῷ ζυγῷ. τ8 ἡλίυ δὲ ἐν τ8τῳ τῷ σημείῳ περιελισσομένυ ἀποτελεῖται οἱονεὶ διαταλαντευμένως ἡ Ἰσημερία.

§. λγ'.

τοξότης. Ἐπὶ τάδε τ8 σκορπίυ πρὸς ἑῶαν, ἐν αὐτῷ τῷ μεσημβρινῷ, ϗ ἴσῳ χεδὸν ὕψει τ8 σκορπίυ πρὸς τὸ ἑῶον ἔρνος τ8 Γαλαξίυ πέντε ἢ ἓξ ἀστερες εἰσὶ μεγέθυς τρίτυ, οἵτινες ἀποτελ8σι τὸν Τοξότην.

σημείωσ. Σημείωσις. περὶ τ8 λόγυ τῆς ἐναστρώσεως αὐτ8, ἴδε τὸν Μακρόβιον ἐν τῷ πρώτῳ βιβλίῳ τῶν Κρονικῶν.

§. λδ'.

αἰγόκερ. Ἐκ τῆς λαμπρᾶς λύρας ἀγαγέσθω εὐθεῖα γραμμὴ διὰ τ8 ἀετ8 ἐν ἴσῳ χεδὸν διαστήματι, ϗ ἐμπεσεῖται ἐις τὸν Αἰγόκερων, 8 τοῖς κέρασιν εἰσὶ δύο ἀστέρες μεγέθυς τρίτυ. ὑποκάτω δὲ αὐτῶν εἰσί τινες νεφελώδεις γειτνιάζοντες.

§. λέ.

κύκν. Ὑπὸ τὸν Κύκνον πρὸς ἑῶαν κεῖται ἡ Ἀνδρομέδη, ϗ ὁ πηγασὸς, πρὸς τ8τοις ϗ τὸ μέγα

τέταρτον. περὶ ὧν ἀνωτέρῳ ἐλέχθη §. ιθ. κ. τ.
ὅπου ἐῤῥέθη περὶ τῆς αὐτῶν γνώσεως.

§. λστ'.

Ἐκ τῆς κεφαλῆς τοίνυν τῆς ἀνδρομέδας (ἔστι ὑδροχόος
δὲ ἡ κεφαλὴ ἡ μᾶλλον πρὸς τὸν νότον κλίνουσα)
ἀντικειμένως τῆς τετραγώνου γωνίας ἀχθεῖσα γραμ-
μὴ ἐμπίπτει ἐν ἴσῳ διαστήματι ἐν ἀστέροις τισὶ
τρίτου μεγέθους, ὄντες ἐν τῷ ἀνωτέρῳ μέρει τοῦ
ὑδροχόου. οὗτος διὰ πολλῶν ἐλασσόνων ἀστέρων ἐγ-
χέει τὸ ὕδωρ ἐν τῷ νοτίῳ ἰχθύϊ, ὅπου κεῖται ὁ
λαμπρότατος φομαχὰνδ πρώτου μεγέθους, ὁ δὲ ἔτι φομαχὰνδ
ὑπὸ τὸν ὁρίζοντα διαλανθάνων ἐπιτέλλει μετὰ μιᾶς
ὥρας ἀναμέσον τῆς ἀνατολῆς, ϗ μεσημβρίας.
οὗτος ἀεὶ ἐν αὐτῇ τῇ γραμμῇ ἐστὶ μετὰ τῶν δύο
δυτικῶν ἀστέρων τοῦ τετραγώνου τοῦ ἐν τῷ κγ'. §.
μνημονευθέντος, ἀλλ' οὐδέποτε ἀναβαίνει εἰς ὕψος
μέγα. ἴδε §. μβ'.

Σημείωσις. Οὐ ὀρθῶς λέγεται οὗτος Φομα- σημείωσ.
χάνδ. ἡ γὰρ ἀραβικὴ λέξις προφέρεται Φ ό μ ε λ
χάνδ, τουτέστι στόμα ἰχθύος. λέγεται δὲ (κατὰ
τὴν δόξαν τῶν πολλῶν) ὅτι ὁ ἥλιος διατρίβων
ἐν αὐτῷ γίνονται συχνοτέρως αἱ χιόνες ϗ ὑε-
τοί. —

§. λζ'.

Μεταξὺ τῆς λύρας, ϗ τῆς ἐλάσσονος ἄρκ- δράκ.
του, κεῖται περιειλημμένος ὁ δράκων, ἢ ὄφις, οὗ
τῷ στόματι κεῖται δύο λαμπρότεροι δευτέρου, ϗ τρί-
του μεγέθους, μᾶλλον πρὸς τὴν λύραν γειτνιά-
ζοντες. οἱ δὲ λοιποὶ πρὸς τὸν δράκοντα, τρί-
του ϗ τετάρτου μεγέθους. ἡ οὐρὰ αὐτοῦ οὕτω λοξοῦ-
ται, ὥστε διακρίνει τὴν μείζονα ἄρκτον τῆς ἐλάτ-
τονος.

σημείωσ. Σημείωσις. Φύλαξ ἦν ὅτος τῶν μήλων ἐν τῷ χρυσοφόρῳ νέμει τῶν ἑσπερίδων, ἀπεκτάνθη ὅμως παρὰ τȣ̃ Ἡρακλέȣς,

§. λή.

ἡ ρακλ. Ἀναμέσον τῆς τȣ̃ δράκοντος κεφαλῆς, ϗ τȣ̃ Ὀφιȣ́χȣ εἰσὶ πλεῖστοι ἀστέρες, τρίτȣ ϗ τετάρτȣ μεγέθȣς ἀποτελȣ̃ντες τὸν Ἡρακλέα ἐν γόνασιν ἐπερειδόμενον, ϗ κατὰ τȣ̃ δράκοντος παρασκευαζόμενον. ἡ κεφαλὴ αὐτȣ̃ ἥτις ἐστί μεγέθȣς τρίτȣ γειτνιάζει πρὸς δυσμὰς τῇ κεφαλῇ τοῦ Ὀφιȣ́χου.

§. λθ'.

κηφεύς. Μέσον τȣ̃ πολικȣ̃ ϗ τῆς ȣ̓ρᾶς τȣ̃ Κύκνȣ ἐγγυτέρως τῇ Κασσιοπείᾳ, εἰσὶ τρεῖς ἀστέρες ἀποτελȣ̃ντες τὸν Κηφέα. οὗτοι μετὰ τȣ̃ πολικȣ̃ ἀστέρος, ϗ τῆς Κασσιοπείας ἀποτελȣ̃σι τρίγωνον ἰσόπλευρον. ὁ μεταξὺ τȣ̃ πολικȣ̃ ἔστιν ἐν τῷ ὤμῳ, ὁ δὲ μεταξὺ τῆς Κασσιοπείας ἐν τῷ μηρῷ.

§. μ'.

παρθέν. Ἡ παρθένος ἐν τῷ χρόνῳ τȣ́τῳ δύνει, ὁρᾶται δὲ θέρει ἀρχομένης τῆς ἑσπέρας (ἢ ἐν χειμῶνι ἀρχομένȣ τȣ̃ Ὄρθρȣ) ἐκ τȣ̃ πολικȣ̃ ἀστέρος γραμμὴ ἀχθεῖσα ἐμπίπτει ἐν τῷ στάχει τῆς παρθένȣ μεγέθȣς πρώτȣ, ὃν φέρει καθειμένῃ τῇ χειρί, κεῖται ἐν αὐτῇ σχεδὸν τῇ γραμμῇ μετὰ δύο ἀνατολικῶν τȣ̃ λέοντος, ϗ τῆς κεφαλῆς τῆς παρθένȣ, ἐκ μειζόνων ἀστέρων συνιστάμενος, ἐγγὺς τȣ̃ κάτω μέρȣς τῆς ȣ̓ρᾶς τȣ̃ λέοντος ὁ Προτρυγητής. κεκλήρωται δὲ τȣ̃το τὸ ὄνομα, ἐπεὶ τὸ τȣ̃ τρυγητȣ̃ χρόνῳ ἄρχεται ὁρᾶσθαι.

προτρυγητ.

σημείωσ. Σημείωσις. Τρεῖς ἐπίσημοι ἀστέρες πρώτȣ μεγέθȣς τȣτέστιν ἡ λαμπρὰ λύρα, ἡ Αἴξ, ϗ ὁ

Ἀρκτῦρος, ἴσῳ χεδὸν διαστήματι ἀπέχοντες τῦ πόλυ ἀποτελῦσι τρίγωνον Ἰσόπλευρον, ὅτινος κέντρον δυνάμεθα νοεῖν τὸν πολικὸν ἀστέρα. οἱ τρεῖς δὲ αὐτῶν ὐδέποτε ἐκλείπυσιν, ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον δύο, ϗ μάλιστα πάντες ὁρῶνται.

§. μά.

Οἱ ἐπισημότεροι τῶν ἀστέρων γινώσκονται ϗ ἐκ τῆς κορυφώσεως αὐτῶν ὕτω. ἐπισημ. ἀστέρ.

Τῇ ί. ἑσπερινῇ ὥρᾳ κορυφῦνται, ἤτοι ἔρχονται ἐν τῷ μεσημβρινῷ.

| | ὕψος. |
|---|---|
| Ὁ λαμπρὸς ἀστὴρ τῦ Κριῦ, μετὰ τὸ ἥμισυ τῦ ἀνθηστεριῶνος. . . . . | 64 |
| Ὁ ὀφθαλμὸς τῦ ταύρυ περὶ τὸ τέλος τῦ ποσειδεῶνος. . . . . . | 58 |
| Ὁ σείριος ϗ οἱ δίδυμοι περὶ τὸ τέλος τῦ γαμηλιῶνος. . . . . . | 26 |
| Ἡ φάτνη τῦ Καρκίνυ ἐν τῷ τέλει τῦ ἐλαφηβολιῶνος. . . . . . | 63 |
| Ἡ καρδία τῦ λέοντος μετὰ τὸ μέσον τῦ μουνυχιῶνος. . . . - . | 56 |
| Ἡ κέρκος τῦ λέοντος ἐν τῇ ἀρχῇ τῦ θαργηλιῶνος. . . . . . | 58 |
| Ὁ στάχυς τῆς παρθένυ ἐν τῷ μέσω τῦ σκιῤῥοφοριῶνος. . . . . . | 33 |
| Ὁ Ἀρκτῦρος περὶ τὸ τέλος τῦ σκιῤῥοφοριῶνος. . . . . . . | 69 |
| Ὁ βόρειος στέφανος μέσον τῦ ἑκατομβαιῶνος. . . . . . . | 70 |
| Ἡ Κεφαλὴ τῦ Ὀφιύχου περὶ τὸ μέσον τῦ μεταγειτνιῶνος. . . . . | 55 |

ὕψος.

τῆδ. { Ὁ ἀετὸς, ἤτοι γὺψ πετόμενος περὶ τὸ μέσον τᾶ Βοηδρομιῶνος. . . . 50
Ὁ ἀνώτερος τᾶ πηγασᾶ. . . . 69
Ὁ κατώτερος ἐν τῇ ἀρχῇ τᾶ μαιμακτηρηριῶνος. . . . . . 56
Καὶ ὁ Φομαχὰνδ. . . . . . 17 }
Ἡ κεφαλὴ τῆς Ἀνδρομέδης περὶ τὸ τέλος τᾶ πυανεψιῶνος. . . . . 10

## §. μβ.

ἑ. ἑωθιν. ὥρ.

Τῇ πέμτῃ ἑωθινῇ ὥρα κορυφᾶνται.

Ἡ οὐρὰ τᾶ λέοντος ἐν τῇ ἀρχῇ τᾶ γαμηλιῶνος. } ἴδε ἄνω.
Ὁ στάχυς τῆς παρθένε περὶ τὸ τέλος τᾶ γαμηλιῶνος. } ἴδε ἄνω.
Ὁ ζυγὸς τῆς τρυτάνης περὶ το τέλος τᾶ ἐλαφιβολιῶνος. . . . . 34
Ἡ καρδία τᾶ σκορπίου μετὰ τὴν ἀρχὴν τᾶ μενυχιῶνος. . . . . . 17
Ὁ δυτικὸς πᾶς τᾶ Ὠρίωνος ἐν τῷ τέλει τᾶ μαιμακτηριῶνος. . . . , 34
Ὁ ἐλάττων κύων ἐν τῇ ἀρχῇ τᾶ ἀνθηστεριῶνος. . . . . . 48
Ἡ καρδία τῆς ὕδρας ἐν τῷ τέλει τᾶ ἀνθηστεριῶνος. . . . . . 35

## §. μγ.

πότ. κατάδ γίνονται.

Ἐκ τέτων δὴ ἐν ἑκάστῳ καιρῷ τᾶ ἔτες ὥρα νυκτὸς, αἰθρίου ὄντος τᾶ Οὐρανᾶ κατάδηλα γίνονται. τετὶ μονονουχὶ παρατηρητέον. τὸν τυχόντα ἀστέρα τουτέστι περὶ τὰς αὐτὰς ἡμέρας,

τȣ̃ μηνὸς πρὸ δύο ὡρῶν κορυφȣ̃σθαι, ἢ τῷ παρεληλυθότι, ϗ ἐναλλάξ.

Παραδείγμ. χάριν. ἐν τῷ τέλει τȣ̃ γαμηλιῶνος τῇ δεκάτῃ ἑσπερινῇ ὥρᾳ κορυφȣ̃ται ὁ σείριος ἀστὴρ. ἄρα ἐν τῷ τέλει τȣ̃ ἐλαφηβολιῶνος κορυφȣ̃ται τῇ ὀγδόῃ ὥρᾳ τῇ ἑσπερινῇ. ϗ ἐν τῷ τέλει τȣ̃ ποσειδεῶνος κορυφȣ̃ται ὥρᾳ δωδεκάτῃ τῆς νυκτός. ϗ ἐν τῷ τέλει, τȣ̃ ἀνθηστεριῶνος κορυφȣ̃ται ὥρᾳ δευτέρᾳ ἑωθινῇ. τὸν αὐτὸν λόγον ἔχουσι ϗ οἱ λοιποὶ ἀστέρες.

Π έ ρ α ς.

# ΠΙΝΑΞ.


Ἀστρογνωσία τί ἐστι. . . §. α΄. . . . . . 3

Ἀστέρες τί . . . . . . . . β΄. . . . . . 3

Ὑποθέσεις Ἀστρονόμων. . . . γ΄. . . . . . 4

Ἀπόστασις τῶν ἀπλανῶν ἀστέρων. δ΄. . . . . 4

Μεγέθ. εἴδη τῶν ἀπλανῶν ἀστέρων. ε΄. . . . . 4

Αȣ. μεγέθȣς. . . . . . . . . . . . 5

Βȣ. μεγέθȣς. . . . . . . . . . . . 5

Γȣ. μεγέθȣς. . . . . . . . . . . . 5

Δȣ. μεγέθȣς. . . . . . . . . . . . 5

Ἔϛ. μεγέθϛς. . . . . . . . . . . . 6
ΣΤϛ. μεγέθϛς. . . . . . . . . . . 6
Ἀστέρες ἀμυδροί. . . . . . . . 5
Ἀστέρες νεφελώδεις. . . . . . . 6
Ἀστερισμῶν διαίρεσις. . . . στ'. . . . . 6
Αἴσονιον ἐπ: . . . . . . . . . . . 6
Ζωδίων ἐπαριθμ. . . . . . . . . . . 7
Νότια. . . . . . . . . . . . . 7
Ἄρκτος μείζων. . . . . ζ'. . . . . 7
Πολικὸς ἀστὴρ. . . . . . . . . . . 7
Παρατήρ. τῆς μείζον: ἀμάξης. . . . . . . . 7
Πολικὸς ἀστὴρ. . . . . . . . . . . . 8
Σημείωσ. τῆς ἐλάσσον. ἄρκτϛ. . . . . . . 8
Ἄρκτος μείζων. . . . . . . . . . . 8
Ἄλκορ ἀστὴρ. . . . . . . . . . . . 8
Κασσίοπεια. . . . . . . η'. . . . . 8
Σημείωσις. . . . . . . . . . . . 9
Ἀστέρες. . . . . . . θ'. . . . . 9
Αἴξ. Ὑάδες. Ἡνίοχος. . . . . . . . . 9
Ὠρίων. . . . . . . . ι'. . . . . 9

Σημείωσ. Ὠρίωνος. . . . . . . . . . . . . 10
Λαγωὸς. . . . . . . . ιά. . . . . . 10
Δίδυμοι. . . . . . . . ιβ΄. . . . . . 10
Σημείωσις. . . . . . . . . . . . . . 10
Σημείωσις διδύμων. . . . . . . . . . . 10
Κύων μείζων. . . . . . . ιγ΄. . . . . . 11
Κύων μικρός. . . . . . . ιδ΄. . . . . . 11
Λέων. . . . . . . . . ιέ. . . . . . 11
Σημείωσις λέοντος. . . . . . . . . . . 12
Καρδία Ὕδρας. . . . . . ιϛ΄. . . . . . 12
Καρκίνου Φάτνη. . . . . . ιζ΄. . . . . . 12
Σημείωσις. . . . . . . . . . . . . . 12
Πλειάδες. . . . . . . . ιή. . . . . . 12
Ὑάδες. . . . . . . . . . . . . . . 13
Σημείωσις. . . . . . . . . . . . . . 13
Ἀνδρομέδη. . . . . . . . ιθ΄. . . . . . 13
Σημείωσις. . . . . . . . . . . . . . 13
Περσεὺς. . . . . . . . . κ΄. . . . . . 14
Κριός. . . . . . . . . κά. . . . . . 14
Σημείωσις. . . . . . . . . . . . . . 14

| | | |
|---|---|---|
| Κῆτος. | κβ΄. | 14 |
| Πήγασος. | κγ΄. | 15 |
| Σημείωσις. | | 15 |
| Λύρα. | κδ΄. | 15 |
| Ἀρκτοῦρος. ϗ Ἀρκτοφύλαξ Βοώτης | κέ. | 16 |
| Σημείωσ. | | 16 |
| Στέφανος βόρειος. | κστ. | 16 |
| Σκορπῖος. | κζ΄. | 16 |
| Σημείωσις. | | 16 |
| Κύκνος. | κή. | 16 |
| Ἀετός. | κθ΄. | 17 |
| Δελφίν. | λ΄. | 17 |
| Σημείωσις. | | 17 |
| Ὀφιοῦχος. ϗ Ὄφις. | λά. | 17 |
| Ζυγός. | λβ΄. | 18 |
| Σημείωσις. | | 18 |
| Τοξότης. | λγ΄. | 18 |
| Σημείωσις. | | 18 |
| Αἰγόκερως. | λδ΄. | 18 |
| Κύκνος. | λέ. | 18 |

Ὑδροχόος — καὶ Φομαχάνδ. . λστ'. . . . . . 19
Σημείωσις. . . . . . . . . . . . . . . 19
Δράκων. . . . . . . . . λζ'. . . . . . 19
Σημείωσις. . . . . . . . . . . . . . . 20
Ἡρακλῆς. . . . . . . . λή. . . . . . 20
Κηφεύς. . . . . . . . . λθ'. . . . . . 20
Παρθένος — καὶ — προτρυγητής. μ'. . . . . 20
Σημείωσις. . . . . . . . . μά. . . . . . 20
Επίσημοι ἀστέρες. . . . . . μά. . . . . 21
— — . . . . . . . μβ'. . . . . 22
Πότε γίνονται κατέθηλοι. . . μγ'. . . . . 22